58. * Βάθρον ἐκ Πεντελησίου μαρμάρου, ἔχον μῆκ. 0,62, ὕψ. 0,32, πλ. 0,74 μ. Εὑρέθη τῷ 1838 παρὰ τὸν δρόμον τὸν ἀπὸ τῶν Προπυλαίων εἰς τὸν Παρθενῶνα φέροντα, ὅπου καὶ νῦν κεῖται. Ἐπὶ τῆς ἄνω ἐπιφανείας δύο μικρὰ ἐπιμήκη τετράγωνα κοιλώματα (μῆκ. 0,105, πλ. 0,05 μ.) καὶ παρὰ τὸ ἓν αὐτῶν, τὸ μᾶλλον ἀπέχον ἀπὸ τῆς ἐνεπιγράφου πλευρᾶς, ἴχνος πεδίλου χαλκοῦ ἀγάλματος (σῴζονται μικρὰ τεμάχια χαλκοῦ). Ἐκ τῶν σημείων τούτων συνάγεται ὅτι τὸ ἄγαλμα ἐστηρίζετο μᾶλλον ἐπὶ τοῦ δεξιοῦ ποδὸς καὶ ὅτι τὸ σῶμα ἦτο ἐστραμμένον οὐχὶ πρὸς τὴν ἐνεπίγραφον ἀλλὰ πρὸς τὴν ἀριστερᾷ ταύτης προσκειμένην πλευράν. Γραφή: στοιχηδόν. — C. I. A. I ἀρ. 376. Ἐφημερὶς ἀρχ. 1838 σ. 98 ἀρ. 46. Ross, Arch. Aufsätze I σ. 164. Le Bas ἀρ. 39. Löwy, Inschriften griech. Bildhauer ἀρ. 39 καὶ σ. XIX. Roberts, Intro-

duction to Greek ep. I ἀρ. 68 α. Πρβ. καὶ Jahrbuch des arch. Inst. II, 1887, σ. 106. X, 1895, σ. 202.

Ἐπιχαρῖνος ἀνέθεκεν ho - - - -
Κριτίος καὶ Νεσιότες ἐπο[ιε]σάτεν

Σχ. γρ.: α11, ν6, ρ10, σ4.

Μετὰ τὰ ἐν τῷ τέλει τοῦ πρώτου στίχου γράμματα «ho» φαίνεται ἴχνος τι, ἴσως μικρὸν λείψανον κυκλοτεροῦς τινος γράμματος, ὅπερ ὅμως δύναται καὶ νὰ προέρχηται ἐκ βλάβης τοῦ λίθου. Μετὰ τὸ σημεῖον τοῦτο δὲν διακρίνεται σαφῶς ἄλλο τι γράμμα πλὴν ἰχνῶν τινων ὑπὲρ τὸ τελευταῖον γράμμα τοῦ δευτέρου στίχου, ἅτινα φαίνεται ὅτι ἐξέλαβεν ὁ Ῥόσσιος ὡς ν.

59. *Βάθρον κυκλοτερὲς ἐκ Πεντελησίου μαρμάρου. Διάμετρος 0,91, ὕψ. 0,44 μ. Ἀπωλέσθησαν τεμάχιά τινα τῆς ἐπιγραφῆς, ἅτινα ἀντεγράφησαν ὑπὸ Ῥοσσίου, Πιττάκη καὶ Ῥαγκαβῆ. Ἡ ἐπιφάνεια τῆς περιφεροῦς πλευρᾶς ἐλειάνθη διὰ κροταφίδος πλὴν στενῶν παρὰ τὸ ἄνω καὶ τὸ κάτω ἄκρον ταινιῶν καὶ τοῦ τετραγώνου χώρου τῆς ἐπιγραφῆς, ἅτινα ἐλειάνθησαν ἐπιμελῶς διὰ ξοίδος. Ἐπὶ τῆς ἄνω ἐπιφανείας τοῦ λίθου ὑπάρχουσι δύο κοιλώματα, ἴχνη ποδῶν τοῦ χαλκοῦ ἀγάλματος. Κεῖται δυτικῶς τῶν Προπυλαίων, ἐν ᾧ τόπῳ καὶ εὑρέθη. Γραφή: ἐν μέρει (μάλιστα πρὸς τἀριστερὰ) στοιχηδόν. — C. I. A. I ἀρ. 375. Ἐφημερὶς ἀρχ. 1838 σ. 96 ἀρ. 44. Ross, Arch. Aufsätze I σ. 101. 163. Le Bas ἀρ. 7. Löwy, Inschriften griech. Bildhauer ἀρ. 38. Roberts, Introduction to Greek ep. I ἀρ. 68.

- - ί]ας κ[αὶ Ὄφσιος] ἀνεθέτεν
τε̃ι Ἀθ]εναία[ι ἀπαρχ]ὲν Ὄαθεν.
Κριτί]ος καὶ Ν[εσ(ι)ότες] ἐποιεσάτεν.

Σχ. γρ.: ν8, σ4.

Μεταξὺ τοῦ δευτέρου καὶ τοῦ τρίτου τῶν σῳζομένων γραμμάτων ὑπάρχουσιν ἐν καθέτῳ γραμμῇ στίγματά τινα, ἅτινα δὲν φαίνονται ὅτι εἶνε ἀρχαῖα.

60. Τεμάχιον βάθρου ἐκ Πεντελησίου μαρμάρου, πανταχόθεν ἀποκεκρουσμένον, σῴζεται ὅμως μέρος τοῦ ὑπὲρ τὴν ἐπιγραφὴν ἄκρου τῆς ἔμπροσθεν πλευρᾶς. Μῆκ. 0,27, ὕψ. 0,16, πάχ. 0,33 μ.— C. I. A. I ἀρ. 377. Ἐφημερὶς ἀρχ. 1858 σ. 1797 ἀρ. 3436. Löwy, Inschriften griech. Bildhauer ἀρ. 398.

- - - κλέε[ς ἀνέθεκεν - - -
Κριτίο[ς καὶ Νεσιότες ἐποιεσάτεν;

Σχ. γρ.: ε5, ρ3.

61. Τεμάχιον πλίνθου ἐκ Πεντελησίου μαρμάρου, ἀνηκούσης εἰς βάθρον εὐμέγεθες. Ὑπὸ τὴν ἐπιγραφὴν ὑπάρχει εἰσέτι εἷς τῶν ἀγκώνων (Versatzbossen), οὓς μετεχειρίζοντο οἱ ἀρχαῖοι ὡς λαβὰς διὰ τὴν τοποθέτησιν ὀγκωδῶν πλίνθων. Μῆκ. καὶ ὕψ. περίπου 0,30, πάχ. περίπου 0,13 μ. Γραφή: στοιχηδόν.— C. I. A. IV, 1 σ. 98 ἀρ. 373[183].

Κριτί;]ος κα[ὶ Νεσιότες;
ἐποι]εσάτεν

Σχ. γρ.: α1 καὶ α12 (στίχ. 2), σ4.

—. Τὴν ἐπιγραφὴν ἣν συμπληρώσαντες· - -Κ]όμον: ἐπ]οίεσε - - ὡς ἐπιγραφὴν τεχνίτου ἐκλαμβάνουσί τινες ἴδε ὑπ' ἀρ. 3.

62. Πλὰξ ἐκ φαιοῦ Ἀττικοῦ μαρμάρου. Ἡ ἐπιγραφή, ἐπὶ μιᾶς τῶν στενωτέρων πλευρῶν ὑπάρχουσα, δεικνύει ἴχνη ἐρυθροῦ χρώματος. Ἐπὶ τῆς ἄνω ἐπιφανείας τοῦ λίθου ὑπάρχουσι τέσσαρα ἀβαθῆ κοιλώματα, ἐν οἷς ἀνὰ ἓν τεμάχιον χαλκοῦ μολύβδῳ περικεχυμένον (τὸ ἀνάθημα παρίστανεν ἴσως ἵππον βαδίζοντα). Μῆκ. 0,71, πλ. 0,32, ὕψ. 0,15 μ.— C.I.A. IV, 1 σ. 102 ἀρ. 373[220]. Jahrbuch des arch. Inst. III, 1888, σ. 271.

Λεόβιος: ἐπ-
οίεσεν: Πυρε-
τιάδες

Σχ. γρ.: α11, β4, ε3, ν9, ρ9, σ4.
Σημ. διαστίξεως 5.

Τὸ ρ τοῦ 2. στίχου ἀντικατέστησεν ἓν ε, ὅπερ εἶχεν ἐγχαραχθῇ ἐσφαλμένως.

63. *Πλίνθος ἐξ Ὑμηττίου μαρμάρου, συνηρμολογημένη ἐκ πολλῶν τεμαχίων καὶ τεθειμένη ἐπὶ ἀντηρίδος τοῦ βορείου τοίχου τοῦ πύργου τῆς Ἀπτέρου Νίκης ἀριστερὰ τῆς εἰς τὸν πρὸ τοῦ ναοῦ χῶρον ἀγούσης μικρᾶς κλίμακος. Ἐπὶ τῆς νῦν ἄνω ἐπιφανείας, ἐπίσης δὲ ἐπὶ τῆς ἀντιθέτου κάτω πλευρᾶς ὑπάρχουσι κοιλώματα ἀποδεικνύοντα ὅτι ἐπὶ τῆς πλίνθου ταύτης ἵστατο μία τῶν ὑπὸ τοῦ Παυσανίου (I, 22, 4) μνημο-

νευομένων «εἰκόνων τῶν ἱππέων» ἐνῷ ἡ ἑτέρα ἵστατο ἀναμφιβόλως ἐπὶ τῆς ἀντικρὺ κειμένης παρὰ τὴν νοτιοδυτικὴν ἄκραν τῆς Πινακοθήκης γωνίας τοῦ κρηπιδώματος τῶν Προπυλαίων (ἴδε τὴν ὑπ' ἀρ. 64 ἐπιγραφήν). Ἡ αὐτὴ ἐπιγραφὴ ἐπαναλαμβάνεται αὐτολεξεὶ ἐπὶ τῶν δύο στενωτέρων τῶν μακρῶν πλευρῶν τῆς πλίνθου, ἡ μία ὅμως (*b*) φαίνεται νῦν ἀντιστρόφως γεγραμμένη, ἐπειδὴ ἀναφέρεται εἰς τό ποτε ἐπὶ τῆς ἀντιθέτου ἐπιφανείας τοῦ λίθου ἱστάμενον ἀνάθημα. Ἀμφότεραι αἱ ἐπιγραφαί, τοὐλάχιστον ἡ ἐπὶ τῆς νῦν πρὸς μεσημβρίαν βλεπούσης πλευρᾶς τοῦ λίθου (*b*), εἶνε ἀνανεώσεις τῆς ἀρχῆθεν ἐπὶ ἀρχαιοτέρου τινὸς βάθρου τοῦ ἀναθήματος ἐγκολαφθείσης. Μῆκ. 1,80, ὕψ. 0,22, πλ. 0,87 μ.— C. I. A. IV, 1 σ.184. Δελτίον ἀρχ.1889 σ. 181, Α' καὶ Β'. Πρβ. Bonner Studien σ. 99. Leipziger Studien XVIII S. 67 (Scherling).

a:

Η]οι hι[ππ]ῆς ἀπὸ τõν πολεμίον hιππαρ[χ]ό[ντον Λακεδαιμονίο, Ξενοφõντος, Προνάπ[ο.
Λύκ[ιος ἐ]ποίησεν Ἐλευθερεὺς Μύρον[ος

b:

Hοι hιππῆς ἀπὸ τõν πολεμίον hιππαρχ[όντον Λακεδα]ιμονίο, Ξ[ε]νοφõντος, Προνά[πο.
Λύκιος ἐποίησεν Ἐλε]υθερεὺς Μύρονο[ς

Σχ. γρ. τῆς ὑπ' ἀρ. *a* ἐπιγραφῆς: η, ξ (ἴδε πίν. Α'), ρ², σ⁴, τῆς δὲ ὑπ' ἀρ. *b*: η, Θ, μ¹¹, ν³, ξ, ρ², σ⁴, φ⁴.

64. Δύο τεμάχια πλίνθου ἐξ Ὑμηττίου μαρμάρου, ἀνηκούσης εἰς τὸ ἀντίστοιχον τῷ προηγουμένῳ ἀνάθημα. Ὕψ. ἀμφοτέρων 0,205. *a*: μῆκ. 0,41, πάχ. 0,33. *b*: μῆκ. 0,16, πάχ. 0,32 μ. Γραφή: στοιχηδόν, ἀνταποκρινομένη καὶ κατὰ τὰ σχήματα τῶν γραμμάτων πρὸς τὴν ὑπὸ 63, *a* ἢ μᾶλλον πρὸς τὴν ἐξ ἀρχῆς ἐπιγραφήν, τοὐλάχιστον ὡς πρὸς τὴν διάστιξιν. — C. I. A. IV, 1 σ. 104 καὶ 183 ἀρ. 418 *h*. Δελτίον ἀρχ. 1889 σ. 181, Γ'. Τὸ ἀριστερὸν τεμάχιον (*a*) Löwy, Inschriften griech. Bildhauer ἀρ. 57. Athen. Mitth. V, 1880, σ. 310, 1. 317, 2.

Hοι hιππῆς⁝ ἀπὸ] τõν π[ολ]ε[μί]ον⁝ h[ιππαρχόντον⁝ Λακεδαιμο]νίο⁝ Ξ[ε]νο[φ]õντ[ος⁝ Προνάπο.
Λύκιος ἐποίη]σεν Ἐλευ[θ]ερε[ὺς Μύρονος

Σχ. γρ.: ε¹¹, ξ (ἴδε πίν. Α'), ρ², σ⁴.
Σημ. διαστίξεως⁵.

65. *Βάθρον ἐκ Πεντελησίου μαρμάρου, κολοβὸν τὸ ἀριστερὸν μέρος, ἐνῳκοδομημένον (ἀντιστρόφως) ἐν τῇ νεωτέρᾳ ἐπενδύσει τοῦ δυτικοῦ θυρώματος τοῦ Παρθενῶνος. Μῆκ. 0,88, ὕψ. 0,60, πλ. 0,75 μ. Γραφὴ τῆς ἀναθηματικῆς ἐπιγραφῆς: στοιχηδόν. — C. I. A. I ἀρ. 418. Ἐφημερὶς ἀρχ. 1853 σ. 690 ἀρ. 1143. Le Bas ἀρ.150. Πρβ. Kaibel, Ep.Graeca ἀρ. 763. E. Hoffmann, Sylloge ep. Graec. ἀρ. 365. Löwy, Inschriften griech. Bildhauer ἀρ. 42.

- - - - - - - ἀ]νέθεκεν
- - - - - αιος
- - - - εναιος
- - - μεγάλος

Μί]κον
Φ]ανομάχο
ἐποίεσε

Σχ. γρ.: Γ (=γ), Λ (=λ), τὰ λοιπὰ στοιχεῖα συμφωνοῦσι τοῖς ἐν τῇ πρώτῃ στήλῃ τοῦ πίνακος Α' ἀναγεγραμμένοις.

66. Στήλη μετ' ἐπικράνου (ἐκ Πεντελησίου μαρμάρου) συντεθειμένη ἐκ δύο τεμαχίων καὶ χρησιμεύσασα ὡς βάσις χαλκοῦ τινος ἀναθήματος, ἴσως ἵππου βαδίζοντος (ἐπὶ τῆς ἄνω ἐπιφανείας ὑπάρχουσι τέσσαρες μικραὶ ὀπαὶ μετὰ τεμαχίων χαλκοῦ μολύβδῳ περικεχυμένων). Ἡ ἐπιγραφὴ τοῦ τεχνίτου εὕρηται ἐπὶ μιᾶς τῶν πλατυτέρων τετραγώνων πλευρῶν τοῦ ἐπικράνου (οὗ τὸ μῆκ. 0,345, πλ. 0,15, ὕψ. 0,11 μ.), ἡ δὲ ἀναθηματικὴ ἐπὶ μιᾶς τῶν στενωτέρων πλευρῶν τοῦ στυλοειδοῦς μέρους τοῦ λίθου (μῆκ.0,78, πλ. ἄνω 0,20, κάτω 0,23, πάχ. ἄνω 0,115 κάτω 0,14 μ.). — C. I. A. IV, 1 σ. 89 (πρβ. σ.182) ἀρ. 373⁹⁹. Ἐφημερὶς ἀρχ. 1887 σ. 145 κ. ἑ. σημ. 2. E. Hoffmann, Sylloge ep. Graec. ἀρ. 251. Jahrbuch des arch. Inst. III, 1888, σ. 271, 2. Lepsius, Marmorstudien σ. 75, 88.

a: Τίμαρχος⁝ μ̓ἀνέθεκε⁝ Διὸς κρατερόφρ[ονι κόρει
μαντειõν φρασμοσύναι Μετρὸς ἐπ[- - ⏑ ⏑ – ⏑;
b: Ὀνάτας ἐποίεσεν.

Σχ. γρ.: α¹², ε³, μ², ν⁹, σ⁴, χ².
Σημ. διαστίξεως⁵.

Τοῦ δευτέρου στίχου προτείνει ὁ Kirchhoff τὴν ἑξῆς συμπλήρωσιν: μετρὸς ἐπ[ῆραν ἢ ἐπ[εισαν - - -,

ὁ δὲ Hoffmann προσθέτει τὴν λέξιν: μεγάλες· ἀναγνωστέον δὲ ἴσως: μαντειὸν φρασμοσύναι(ς), μετρὸς ἐπ[ευχσαμένες. (*W.* Ταύτην τὴν συμπλήρωσιν τελευταύως καὶ ὁ Wilhelm προέτεινεν· Arch.- ep. Mittheilungen XX σ. 83, 42).

Τὸ 6. γράμμα τοῦ 2. στίχου τῆς ὑπ' ἀρ. *a* ἐπιγραφῆς προσετέθη μετὰ τὴν ἐγχάραξιν τοῦ λοιποῦ μέρους τοῦ στίχου τούτου ἢ τῆς πρώτης λέξεως αὐτοῦ. Ἐν τῷ αὐτῷ στίχῳ ὑπάρχει ἐν τῇ λέξει «μετρὸς» Φ ἀντὶ Ο.

67. Βάθρον ἐκ Πεντελησίου μαρμάρου, συντεθειμένον ἐξ ἓξ τεμαχίων. Σῴζονται μέρη τινὰ πασῶν τῶν πλευρῶν ἐκτὸς τῆς ὄπισθεν, ἥτις ἀπεκρούσθη. Ἐν τῷ μέσῳ μιᾶς τῶν μικροτέρων πλευρῶν ὑπάρχει ἔμβολον (μῆκ. 0,08 μ.) πρὸς ἔμπηξιν τοῦ ἐπικράνου. Ἡ ἐπιγραφὴ κατὰ μῆκος μιᾶς τῶν μακροτέρων πλευρῶν. Ἐν τοῖς γράμμασιν ἴχνη ἐρυθροῦ χρώματος. Μῆκ. 1,035, ὕψ. 0,37, πάχ. 0,31 (ἦτο περίπου 0,42 μ.).— C. I. A. IV,1 σ.86 καὶ σ. 180 ἀρ. 373[82]. σ. 83 ἀρ. 373[48]. Sitzungsberichte der Akademie zu Berlin 1888 σ. 241, 11. Ἐφημερὶς ἀρχ. 1883 σ. 37, 6. Löwy, Inschriften griech. Bildhauer ἀρ. 17. Jahrbuch des arch. Inst. II,1887, σ.143. Δελτίον ἀρχ. 1891 σ. 72.

Κρίτον(⁝) Ἀθεναίαι⁝ Ηο Σκύθο⁝ ἀνέθεκέ με.
Πολ[λίας] ἐποίε[σ]εν.

Σχ. γρ.: α[12], ε[4], θ[4], μ[9], ν[8] καὶ ν[10] (στίχ. 2), ρ[9], σ[4], υ[2].
Σημ. διαστίξεως [5].

68. Βαθρίδιον ἐξ ὑποφαίου λεπτοκόκκου μαρμάρου, συγκεκολλημένον ἐκ δύο τεμαχίων. Σῴζονται μέρη πασῶν τῶν πλευρῶν. Ἐπὶ μιᾶς τῶν δύο μικροτέρων πλευρῶν ὑπῆρχε τετράγωνον κοίλωμα (μῆκ. 0,08, πλάτ. 0,06 μ.) ἐν ᾧ ἐτέθη ποτὲ χαλκῆ βάσις ἀγαλματίου, συνδεδεμένη μετὰ τοῦ λίθου διὰ ἓξ ἥλων ὧν σῴζονται δύο (καὶ δύο ὀπαί). Ἡ ἐπιγραφὴ ἐπὶ μιᾶς τῶν στενωτέρων τῶν τεσσάρων μακροτέρων πλευρῶν. Μῆκ. 0,24, πλ. 0,17, πάχ. 0,09 μ. Γραφὴ τῶν τεσσάρων πρώτων στίχων: στοιχηδόν.— C. I. A. IV, 1 σ. 81 καὶ 180 ἀρ. 373[15]. Bull. de corr. hell. III, 1879, σ. 127. Sitzungsberichte der Akademie zu Berlin 1888 σ. 314, 4. Δελτίον ἀρχ. 1891 σ. 72, 5.

Πολ - - - - -
ἀνέθ[εκεν - -
δ]εκάτεν
Η]ο Χειμέρπο
Πολλίας ἐποίεσεν

Σχ. γρ.: α[11], ε[3], θ[4], μ[2]; ν[9] καὶ ν[8] (στίχ. 5), ρ[9], σ[4], χ[2];

69. Δύο τεμάχια πλακὸς ἐκ Πεντελησίου μαρμάρου, γύψῳ συγκεκολλημένα. Ἀπεκρούσθησαν τὸ δεξιόν, τὸ κάτω καὶ τὸ ὄπισθεν μέρος τοῦ λίθου. Μῆκ. 0,46, πλ. 0,39, ὕψ. 0,15 μ. Γραφὴ τῶν δύο πρώτων στίχων: στοιχηδόν. — C.I.A. IV, 1 σ. 200 ἀρ. 373[242]. Δελτίον ἀρχ. 1889 σ. 16, 11.

Ηιππος[θ]ένες⁝ ἀ[νέθεκεν ho
Ἐπιτ[έλος Γ]λαυ[κόπιδι κόρει.
Πυθέ[ας ἐποίεσεν

Σχ. γρ.: α[12], ε[5], θ[4], ν[6], σ[4], υ[2].
Σημ. διαστίξεως [5].

70. * Κίων ῥαβδωτὸς ἐκ Παρίου μαρμάρου, συνηρμολογημένος ἐκ δύο τεμαχίων. Τὸ ἄνω ἄκρον διεσκευάσθη πρὸς ἔνθεσιν ἐπικράνου, πιθανῶς κιονοκράνου, ἐν τῷ μέσῳ αὐτῆς κυκλοτερὲς κοίλωμα διαμέτρου 0,065 μ. Ἐν τοῖς γράμμασι τοῦ δευτέρου στίχου ἴχνη χρώματος ἐρυθροῦ. Ὁ πρῶτος στίχος μικροτέροις γράμμασι. Μῆκ. 1,64, διάμετρος 0,25-0,30 μ. Κεῖται πρὸ τοῦ μουσείου τῆς Ἀκροπόλεως.— C. I. A. IV, 1 σ.199 ἀρ. 373[241]. Δελτίον ἀρχ. 1888 σ. 82. 1889 σ. 16, 10. Lepsius, Marmorstudien σ. 73, 52.

Πῦθις ἐποίεσεν.
Ἐπιτέλες ἀνέθεκεν: ἀπαρχὲν
Ἀθεναίαι

Σχ. γρ.: α[12], ε[1] (ἐν τῇ λέξει «ἀπαρχὲν») ε[5] (στίχ. 2) ε[3] (στίχ. 1, 3), θ[1] (στίχ. 1) θ[4] (στίχ. 2, 3), ν[8], σ[4] (ἐν τῇ λέξει «Πῦθις») σ[12] (ἐν τῇ λέξει «ἐποίεσεν») σ[5] (στίχ. 2), υ[2], χ[2].
Σημ. διαστίξεως [6].

—. Τὴν ἐπιγραφὴν τοῦ Πύρρου ἴδε ὑπ' ἀρ. 96 ἐν ταῖς ἐπιγραφαῖς δημοσίων ἔργων.

71. * Δύο συνεχεῖς πλίνθοι ἐκ Πεντελησίου μαρμάρου, κείμεναι οὐ μακρὰν τῆς νοτιοανατολικῆς γωνίας τῶν Προπυλαίων ἐν τῷ τεμένει τῆς Βραυρωνίας Ἀρτέμιδος, ἀνήκουσαι δὲ εἰς τό ποτε ἐξ ἓξ πλίνθων (σῴζονται τέσσαρες) συνιστάμενον βάθρον τοῦ «δουρείου ἵππου» (Ἀριστοφ. ἐν Ὀρνίθων στίχ. 1128, Παυσ. I, 23,8, Ἡσύχ. ἐ. λ.). Ἑκατέρα τῶν ἐνεπιγράφων πλίνθων ἔχει μῆκ. 1,80, πλ. 0,90, ὕψ. 0,40 μ. (αἱ δύο ἄλλαι μῆκ. 1,49 καὶ 1,78 μ.). Ἡ ὑπογραφὴ τοῦ τεχνίτου εὕρηται ἐπὶ τῆς δεξιᾶς πλίνθου, ἐγκεχαραγμένη μικροτέροις (0,02) τῶν τῆς ἀναθηματικῆς ἐπιγραφῆς (0,03) γράμμασι.— C. I. A. I ἀρ. 406. Ἐφημερὶς ἀρχ. 1839 σ. 275 ἀρ. 310. Ross, Arch. Aufsätze I σ. 194. Le Bas ἀρ.

46. Löwy, Inschriften griech. Bildhauer ἀρ. 52. Δελτίον ἀρχ. 1888 σ. 225.

a: Χαιρέδεμος: Εὐαγγέλο

b: ἐκ Κοίλες: ἀνέθεκεν
Στρογγυλίον ἐποίεσεν

Σχ. γρ.: υ4.
Σημ. διαστίξεως 5.

72. Ὑπόθημα ῥαβδωτὸν ἀναθήματος ἐκ Πεντελησίου μαρμάρου πλατυνόμενον πρὸς τὸ κάτω μέρος, ἔνθα ἀπολήγει εἰς περιφερῆ βάσιν, ἀποκεκρουσμένον δὲ ἄνω καὶ ὄπισθεν. Ὕψ. 0,48, διάμετρος τῆς βάσεως 0,48 μ.— C. I. A. IV, 1 σ. 90 ἀρ. 373[103].

(2) Ηονπορίονος (= ho Ἐνπορίονος)
(1) Φίλον με ἐποίεσεν

Σχ. γρ.: ε3, μ2, ν5, σ4, φ2.

73. *Κίων ἐκ Πεντελησίου μαρμάρου, πλατυνόμενος πρὸς τὰ κάτω, ἔνθα ἀπεκρούσθη τεμάχιον. Ἐπὶ τῆς ἄνω ἄκρας κυκλοτερὴς προεξοχὴ ὕψ. 0,05, διαμέτρου 0,14 μ. Μῆκ. 1,20, ἄνω διάμετρος 0.24 μ. Κεῖται πρὸ τοῦ μουσείου τῆς Ἀκροπόλεως. C. I. A. IV, 1 σ. 182 ἀρ. 373[103]. Δελτίον ἀρχ. 1888 σ. 92, 9.

Φίλ]ον hον- (= ho Ἐν-)
πορίο]νος
ἐποίε]σεν

Σχ. γρ.: ν3, σ7 καὶ σ4.

74. Τρία γύψῳ συγκεκολλημένα τεμάχια πλακὸς ἐκ φαιοῦ Ἀττικοῦ μαρμάρου. Σῴζονται μέρη τῆς ἔμπροσθεν, τῆς ἀριστερᾶς καὶ τῆς ὄπισθεν πλευρᾶς, ἐπίσης δὲ τῆς ἄνω ἐπιφανείας τοῦ λίθου. Μῆκ. 0,42, πλ. 0,40, ὕψ. 0,135 μ. Ἔν τισι τῶν γραμμάτων ἴχνη χρώματος ἐρυθροῦ. Γραφή: ἡμελημένη.— C. I. A. IV, 1 σ. 202 ἀρ. 373[253]. Sitzungsberichte der Akademie zu Berlin 1888 σ. 240, 3. Δελτίον ἀρχ. 1888 σ. 225, 5. 1891 σ. 70, 1.

Φίλον: Ἀριστίον: Ναυ - -
Πυρίον: ἀνέθεσαν - -
Χσεναῖος Παρθμονε[ίδο ἐποίεσεν

Σχ. γρ.: α12 καὶ α11 (τὸ πρῶτον τῆς λέξεως «ἀνέθεσαν»), ε3, μ2, ν6 (ἐν τῇ λέξει «Ἀριστίον» καὶ τῷ 3. στίχῳ), ν9, ρ11 καὶ ρ10 (ἐν τῇ τελευταίᾳ λέξει), σ4 καὶ σ5 (τὸ πρῶτον τῆς λέξεως «Χσεναῖος»), υ2, φ2, χ2.
Σημ. διαστίξεως 6.

Ἐν τῷ δευτέρῳ στίχῳ διωρθώθη «ἀνέθεσαν» ἀντὶ «ἀνέθεκεν».

75. Τεμάχιον κιονίσκου ῥαβδωτοῦ (μετὰ 14 ῥαβδώσεων) ἐκ Παρίου μαρμάρου. Μῆκ. 0,42, διάμετρος περίπου 0,16 μ. Γραφή: ἐκ δεξιῶν πρὸς ἀριστερά. — C. I. A. IV, 1 σ. 79 ἀρ. 373[2]. Πρβ. E. Hoffmann, Sylloge ep. Graec. ἀρ. 209.

- - - ἐπο]ίεσεν Ἀθένει - - -
- - - - - μον hαγνει - - -

Σχ. γρ.: α12, ε3, h3, μ2, ν5, σ4.

76. Μικρὸν τεμάχιον βάθρου ἐκ Πεντελησίου μαρμάρου, πανταχόθεν ἀποκεκρουσμένον. Μῆκ. 0,13 μ.— C. I. A. IV, 1 σ. 94 ἀρ. 373[138].

- - - ας ἐπ[οίεσεν
vac.

Σχ. γρ.: α12, ε10, σ4.

77. Τεμάχιον βάθρου ἐκ Πεντελησίου μαρμάρου, πανταχόθεν ἀποκεκρουσμένον. Μῆκ. 0,33, πλ. 0,17, πάχ. 0,06 μ.— C. I. A. IV, 1 σ. 85 ἀρ. 373[71].

- - - - - - I - - -
- - - - δον: ἐ[ποίεσεν;
vac.

Σχ. γρ.: ε3, ν8.
Σημ. διαστίξεως 5.

78. Τεμάχιον βάθρου ἐκ σκληροῦ τιτανολίθου τοῦ Καρᾶ (πρβ. Lepsius, Marmorstudien σ. 116), οὗ σῴζεται τὸ ἄνω ἄκρον τῆς ἔμπροσθεν πλευρᾶς. Μῆκ. 0,26, ὕψ. 0,15, πάχ. 0,08 μ. Ἴσως ἀνανέωσις ἀρχαιοτέρας ἐπιγραφῆς.— C. I. A. I σ. 188 καὶ IV, 1 σ. 155 ἀρ. 411. Bullettino dell' Instituto 1865 σ. 138. Löwy, Inschriften griech. Bildhauer ἀρ. 417. Πρβ. Leipziger Studien XVIII σ. 67 (Scherling).

- - - ες Ἐλευθερε[ὺς
ἐποίεσεν] Μύρονος
vac.

Σχ. γρ.: ε5, μ; ν3.

79. Δεξιὸν μέρος βάθρου ἐκ Πεντελησίου μαρμάρου. Ἐπὶ τῆς ἄνω ἐπιφανείας τοῦ λίθου δύο περιφερῆ κοιλώματα (ἐν οἷς μόλυβδος), χρησιμεύσαντα διὰ τὴν στερέωσιν τοῦ ἀναθήματος, ἴσως ἀνδριάντος χαλκοῦ. Ὕψ. 0,26, πλ. 0,40, πάχ. 0,50 μ.— C. I. A. I

ἀρ. 401. Ἐφημερὶς ἀρχ. 1852 σ. 675 ἀρ. 1121. Le Bas ἀρ. 39 c. Löwy, Inschriften griech. Bildhauer ἀρ. 43

– – – – – – – – – – κ]αὶ Θεόδοτο[ς
– – – – – – – – οι ἀπαρχέν.

– – ς
ἐποίε]σεν

Σχ. γρ.: α[12], ε[1] καὶ ε[6] (στίχ. 4), ν[6] καὶ ν[10] (στίχ. 4), χ[2].

80. Τεμάχιον ἐπικράνου βάθρου ἐξ ὑποφαίου λεπτοκόκκου μαρμάρου πανταχόθεν ἀποκεκρουσμένον. Ἡ ἐπιφάνεια ἐπίκυρτος. Ὁ μεταξὺ τῶν δύο στίχων (ὧν ὁ δεύτερος μικροτέροις γράμμασι) χῶρος ἀπεξέσθη διὰ κροταφίδος. Μῆκ. 0,22, ὕψ. 0,10, πάχ. 0,05 μ. — C. I. A. IV, 1 σ. 98 ἀρ. 373[181].

– – – – ἀνέθε]σα[ν;
– – – – – ς: καὶ [: – – – ἐποίεσαν ἢ ἐποιεσάτεν

Σχ. γρ.: α[12], σ[4].
Σημ. διαστίξεως [6].

81. Τρία συγκεκολλημένα τεμάχια βάσεως μετὰ ἐπικράνου ἐκ Πεντελησίου μαρμάρου. Σῴζεται τὸ δεξιὸν ἄκρον τοῦ δεξιοῦ τεμαχίου. Ἐπὶ τῆς ἄνω ἐπιφανείας διατηρεῖται μέρος τι κοιλώματος, οὗ τὸ βάθος ἦτο περίπου 0,09, τὸ δὲ πλάτος 0,05-0,06 μ. Ἀπεκρούσθησαν τὸ ἀριστερὸν καὶ τὸ ὄπισθεν μέρος τοῦ ἐπικράνου καὶ σχεδὸν ὁλόκληρον τὸ κάτω στενώτερον μέρος τῆς βάσεως. Μῆκ. 0,30, ὕψ. 0,27, πάχ. 0,19 μ. — C. I. A. IV, 1 σ. 80 καὶ 179 ἀρ. 373[11]. Δελτίον ἀρχ. 1886 σ. 140, 4.

– – – – υμος ἐποί[εσε]ν.

– – – – ἀνέ]θεκ[εν.

Σχ. γρ.: ε[3], θ[4], μ[9], ν[8], σ[5].

82. Τεμάχιον βάσεως μετὰ τετραγώνου ἐπικράνου ἐκ Πεντελησίου μαρμάρου. Ἀπεκρούσθησαν τὸ δεξιὸν ἥμισυ τῆς ἔμπροσθεν πλευρᾶς τοῦ ἐπικράνου καὶ τὸ ὄπισθεν μέρος αὐτοῦ, ἐπίσης σχεδὸν ὁλόκληρον τὸ κάτω στενώτερον μέρος τῆς βάσεως. Ἐπὶ τῆς ἄνω ἐπιφανείας τοῦ λίθου ὑπῆρχεν ἐπίμηκες ἀκανόνιστον κοίλωμα προωρισμένον διὰ τὴν ἔνθεσιν ἀναθήματος χαλκοῦ. Ἡ ἐπιγραφὴ ἐπὶ τῆς ἔμπροσθεν πλευρᾶς τοῦ ἐπικράνου (μῆκ. 0,39, ὕψ. 0,12 μ.), δευτέρα τις, ἡ ἀναθηματική, θὰ ὑπῆρχεν ἐπὶ τοῦ νῦν ἀπολεσθέντος ὀπισθίου μέρους τοῦ ἐπικράνου. — C. I. A. IV, 1 σ. 102 ἀρ. 373[221].

ἐπόεσε δὲ: | – – – –

Σχ. γρ.: σ[4].
Σημ. διαστίξεως [5].

83. Τεμάχιον βάσεως ἐκ Πεντελησίου μαρμάρου. Σῴζονται μέρη δύο πλευρῶν, ὧν ἑκατέρα ἔφερεν ἐπιγραφήν. Ἄνωθεν τῆς ὑπ' ἀρ. *a* ἀναθηματικῆς ἐπιγραφῆς προέχει τὸ ἄκρον τοῦ λίθου ἐν σχήματι ἐπικράνου, ἐνεχαράχθη δὲ αὕτη ἡ ἐπιγραφὴ κατὰ μῆκος τῆς βάσεως, ἡ δὲ ἑτέρα κατὰ πλάτος τῆς προσκειμένης πλευρᾶς. Μῆκ. 0,34, πλ. 0,13 μ.

a: Γνάθον: καὶ Ἀ[– – – – – ἀνέθεσαν ἢ ἀνεθέτεν
δεκάτεν – – – – – – – – –
b: – – – – ἐποί]ε[σεν

Σχ. γρ.: α[12] (στίχ. 1) καὶ α[11] (στίχ. 2), δ[6], ε[3], θ[7], κ[1] καὶ κ[2] (στίχ. 2), ν[8].
Σημ. διαστίξεως [6].

84. * Βάθρον ἐκ Πεντελησίου μαρμάρου, πανταχόθεν ἀποκεκρουσμένον, σῴζεται ὅμως μέρος τοῦ ἀριστεροῦ ἄκρου τῆς ἔμπροσθεν ἐνεπιγράφου πλευρᾶς. Ἐπὶ τῆς ἀριστερᾶς πλευρᾶς τῆς ποτε ἄνω ἐπιφανείας τοῦ λίθου ὑπῆρχεν ἔμβολόν τι τετράγωνον. Μῆκ. 0,98, ὕψ. 0,38, πλ. 0,53 μ. Κεῖται πρὸ τοῦ μουσείου τῆς Ἀκροπόλεως. — C. I. A. IV, 1 σ. 203 ἀρ. 373[260]. Δελτίον ἀρχ. 1889 σ. 38, 4.

Ἐ[τ]έ[αρχ]ος: καὶ [– – – ἀνέθεσαν ἢ ἀνεθέτεν – – – –
– – – ἐ]ποίεσεν

Σχ. γρ.: α[11], ε[3] καὶ ε[1] (στίχ. 2), σ[4].
Σημ. διαστίξεως [6].

85. Τρία τεμάχια βάθρου ἐκ Πεντελησίου μαρμάρου, ὧν δύο (τὰ ἀριστερὰ) γύψῳ συγκεκολλημένα (μῆκ. ὁμοῦ 0,34, τὸ τοῦ τρίτου τεμαχίου περίπου 0,38 μ.). Σῴζεται τὸ ἀριστερὸν ἄκρον τοῦ ἐκ δύο τεμαχίων συντεθέντος μέρους, τὸ δὲ τρίτον τεμάχιον ἀπεκρούσθη πανταχόθεν. Ὁ λίθος ἔφερε δύο ἐπιγραφὰς ἀναγεγραμμένας ἐπὶ δύο κατ' ὀρθὴν γωνίαν παρακειμένων πλευρῶν, τὴν μὲν μίαν (*a*) μικροτέροις (ὕψ. περίπου 0,013), τὴν δὲ ἑτέραν (*b*) μείζοσι (ὕψ. τῶν δύο πρώτων στίχων περίπου 0,028) γράμμασιν ἐγκεχαραγμένην. Ἡ ὑπ' ἀρ. *a* τετράστιχος ἐπιγραφὴ (ὕμνος;) εὕρηται παρὰ τὸ ἄκρον τῆς ἐφ' ἧς ἀναγέγραπται πλευρᾶς, μένει δηλαδὴ πολὺς χῶρος ἄνωθεν αὐτῆς κενός,

ὅπερ πείθει ὅτι ἡ πλευρὰ αὕτη ἦτο ἡ ἄνω ἐπιφάνεια τοῦ λίθου, ἐνῷ ἐν τῇ ἔμπροσθεν πλευρᾷ ὑπῆρχεν ἡ τὰ ὀνόματα τοῦ ἀναθέτου καὶ τεχνίτου ἀναφέρουσα ὑπ' ἀρ. *b* ἐπιγραφὴ (ἡ γραφὴ ταύτης: στοιχηδόν).— C.I.A. I ἀρ. 354 καὶ 362. IV, 1 σ. 79 καὶ 154 ἀρ. 362. Ἐφημερὶς ἀρχ. 1856 σ. 1387 ἀρ. 2778. LeBas πίν. 2, 9. Jahrbuch des arch. Inst. II, 1887, σ. 144. Δελτίον ἀρχ. 1888 σ. 95, 3. Πρβ. Kaibel, Ep. Graeca ἀρ. 767. E. Hoffmann, Sylloge ep. Graec. ἀρ. 252. Leipziger Studien XVIII σ. 72 (Scherling).

a
- - - - - - - - - - ὄργαμε : τ - - -
- - - - - - - - - - - ε: καλος - - - -
- - - - - - - - - - ς ἥ ν]εκεν - - - - -
- - αν [Η]υγιεια - - - - ν - - - - - -

b
Εὐφρόνιος [- - - - - ἀ]ν[έθεκεν ho
κεραμεὺς [⁝ τε̃ι Ἀθεναί]αι δ[εκάτεν.
- - - ἐποίεσ]εν

Σχ. γρ.: $α^{12}$, $ε^{5}$, $μ^{2}$, $ν^{8}$, $ρ^{2}$ (*b*) καὶ $ρ^{11}$ (*a*), $σ^{4}$, $υ^{4}$, $φ^{2}$.
Σημ. διαστίξεως ⁶ καὶ ἴσως ⁵ (*b*).

86. Τεμάχιον βάθρου μετ' ἐπικράνου ἐκ Πεντελησίου μαρμάρου. Σῴζονται μέρη δύο κατ' ὀρθὴν γωνίαν παρακειμένων πλευρῶν, ὧν ἡ μὲν φέρει τὴν ὑπ' ἀρ. *a*, ἡ δὲ τὴν ὑπ' ἀρ. *b* ἐπιγραφήν. Ἐπὶ τῆς ἄνω ἐπιφανείας ὑπῆρχε τετράγωνον κοίλωμα. Μῆκ. 0,28, πλ. 0,22 μ.— C. I. A. IV, 1 σ. 93 ἀρ. 373^{127}.

a: Τ;]ιμε - -
. ος ἐ - -
. οφ - -

b: - - - ἐποίε]σεν

Σχ. γρ.: $ε^{10}$, $μ^{10}$, $ν^{5}$, $σ^{4}$, $φ^{2}$.

87. Τρία συγκεκολλημένα τεμάχια πλακὸς ἐκ Πεντελησίου μαρμάρου. Ἐλλείπουσι τὸ ἀριστερὸν καὶ τὸ δεξιὸν ἄκρον τοῦ λίθου. Μῆκ. 0,37, ὕψ. 0,10, πλ. 0,25 μ.— C. I. A. IV, 1 σ. 42 ἀρ. 373 *h* καὶ σ. 93 ἀρ. 373^{123} (τὸ δεξιὸν τεμάχιον· πρβ. κάτω ἀρ. 312). Bull. de corr. hell. I, 1877, σ. 359, 1.

- - - ἐποίεσεν.
- - - ος ἀνέθεκεν τἀθ[εναίαι

Σχ. γρ.: $α^{12}$ καὶ $α^{11}$, $ε^{3}$ καὶ $ε^{10}$ (τὸ τελευταῖον), $θ^{4}$, $ν^{9}$ καὶ $ν^{8}$, $σ^{4}$.

88. Δύο συγκεκολλημένα τεμάχια κιονίσκου ἄνευ ραβδώσεων ἐκ Πεντελησίου μαρμάρου. Μῆκ. 0,71, διάμετρος ἀριστερὰ ἢ ἄνω 0,12. κάτω 0,14 μ. Γραφή: ἠμελημένη.— C. I. A. IV, 1 σ. 97 καὶ 183 ἀρ. 373^{174}. Δελτίον ἀρχ. 1888 σ. 118, 4. Athen. Mitth. XIII, 1888, σ. 142. Πρβ. E. Hoffmann. Sylloge ep. Graec. ἀρ. 207.

ῡ - ἐ]ποίε κἀνέθεκε: τε̃ι θεο̃ι

Σχ. γρ.: $α^{1}$ καὶ $ν^{9}$ ἀντιστρόφως ἐγκεχαραγμένα, $ε^{1}$ καὶ $ε^{10}$ καὶ $ε^{5}$, $κ^{3}$.
Σημ. διαστίξεως ⁶.

89. Τεμάχιον κίονος ἐκ Πεντελησίου μαρμάρου, κολοβοῦ τὰ ἄκρα καὶ τὸ ὄπισθεν μέρος (ἐξ 24 ῥαβδώσεων σῴζονται 11). Μῆκ. περίπου 0,37, διάμετρος 0,20 μ. Εν τοῖς γράμμασιν ἴχνη μέλανος χρώματος.— C. I. A. IV, 1 σ. 93 ἀρ. 373^{126}.

- - - ἐποίε]σεν
- - - - - ἀ]νέθεκεν

Σχ. γρ.: $ε^{10}$, $θ^{4}$, $κ^{3}$, $ν^{8}$ καὶ $ν^{9}$ (στίχ. 1), $σ^{4}$.

90. Τεμάχιον πλακὸς ἐκ Πεντελησίου μαρμάρου, ἀποκεκρουσμένης ἀριστερὰ καὶ ὄπισθεν. Μῆκ. 0,27, πλ. 0,37, ὕψ. 0,12 μ.— C. I. A. I ἀρ. 384. Ἐφημερὶς ἀρχ. 1852 σ. 673 ἀρ. 1117. LeBas ἀρ. 39 *d*. Löwy, Inschriften griech. Bildhauer ἀρ. 21.

- - - - δ]εκάτεν
- - - ἐποί]εσε

Σχ. γρ.: $α^{11}$, $ε^{5}$ καὶ $ε^{10}$ (στίχ. 2), ν; $σ^{4}$.

91. *Τεμάχιον τετραγώνου βάθρου μετ' ἐπικράνου, ἐκ Παρίου μαρμάρου. Σῴζονται μέρη δύο πλευρῶν. Ὕψ. 0,20, πλ. 0,23, πάχ. 0,29 μ. Ἐπὶ τῆς ἄνω ἐπιφανείας σῴζεται μέρος τετραγώνου κοιλώματος. Κεῖται μετὰ ἄλλου ἀνεπιγράφου τεμαχίου τῆς αὐτῆς βάσεως ἐν τῷ μουσείῳ τῆς Ἀκροπόλεως.— C.I.A. IV,1 σ. 94 ἀρ. 373^{131}.

- - - huιο.
- - - ἐ]ποί.
- - - - - -

Σχ. γρ.: $υ^{5}$.

92. Τεμάχιον κεφαλῆς βάθρου ἐκ Πεντελησίου μαρμάρου. Σῴζεται τὸ δεξιὸν καὶ τὸ ἄνω ἄκρον τοῦ ἐπι-

κράνου. Μεταξὺ τοῦ τρίτου καὶ τοῦ τετάρτου γράμματος τοῦ σῳζομένου μέρους τῆς μονοστίχου ἐπιγραφῆς φαίνεται τὸ ἄκρον μικρᾶς ἐκ μολύβδου ῥάβδου, ἧς τὸ ἀντίθετον ἄκρον ὑπάρχει παρὰ τὸ χεῖλος κοιλώματός τινος τῆς ἄνω ἐπιφανείας τοῦ λίθου. Μῆκ 0,155, ὕψ. 0,10 μ.— C. I. A. IV, 1 σ. 85 ἀρ. 373[75].

– – – ἐπ]οίεσε[ν

Σχ. γρ.: ε[3], σ[4].

93. Τεμάχιον βάθρου ἐκ Παρίου μαρμάρου, ἀποκεκρουσμένον ἀριστερά, κάτω καὶ ὄπισθεν. Ἐπὶ τῆς ἄνω ἐπιφανείας ὑπῆρχε τετράγωνον κοίλωμα. Μῆκ. 0,29, πλ. 0,19, ὕψ. 0,12 μ. Γραφή: ἠμελημένη.— C. I. A. IV, 1 σ. 85 ἀρ. 373[72].

vac.
– – – ἐποί]εσεν
vac.

Σχ. γρ.: ε[10], ν[9], σ[4].

—. Τὴν ὑπό τινων ὡς ἐπιγραφὴν ἀγνώστου τεχνίτου ἐκληφθεῖσαν ἐπιγραφὴν C. I. A. I ἀρ. 373 βλ. κάτω ἀρ. 263.

Ἀναθηματικαὶ ἐπὶ λίθων ἐπιγραφαὶ δημοσίων ἱδρυμάτων.

94. Τεμάχιον πλίνθου ἐξ Ἐλευσινιακοῦ λίθου. Σῴζονται μέρη τῆς ἔμπροσθεν, τῆς ἄνω, τῆς κάτω καὶ τῆς ἀριστερᾶς πλευρᾶς, πρὸς ἣν ὡς πρὸς τὴν ἀντίθετον πλευρὰν προσηρμόζοντο ὅμοιαι πλίνθοι, ἀποτελοῦσαι τοιουτοτρόπως τὸ ἔμπροσθεν μέρος μεγάλης πολυμεροῦς βάσεως. Ἡ ἐπιγραφὴ δίστιχος οὖσα ὑπὸ τὸ ἄκρον τῆς ἔμπροσθεν πλευρᾶς μεταξὺ λεπτοτάτων πρὸς εὐκολίαν τοῦ χαράκτου ἐγκεχαραγμένων γραμμῶν. Ὕψ. 0,30, μῆκ. 0,50, πάχ. 0,34 μ., ὕψ. τῶν γραμμάτων 0,025 μ. Ἡ συμπλήρωσις τῆς ἐπιγραφῆς ἐλήφθη ἐκ χωρίων τινῶν τοῦ Ἡροδότου (V, 77) καὶ ἄλλων συγγραφέων, ἐξ ὧν συνάγεται ὅτι ἐπὶ τῆς βάσεως ἵστατο χαλκοῦν τέθριππον, ὅπερ οἱ Ἀθηναῖοι ἐποίησαν ἐκ τῆς δεκάτης τοῦ πολέμου, ἐν ᾧ ἐνίκησαν τοὺς Βοιωτοὺς καὶ Χαλκιδεῖς (περὶ τὸ τέλος τῆς ἕκτης π. Χ. ἑκατονταετηρίδος). Ἀνεκαινίσθη τὸ ἔργον ἐπὶ Περικλέους, ὡς ἀποδεικνύει ἡ ὑπ' ἀρ. 95 ἑπομένη ἐπιγραφή, ἥτις ἀνῆκεν εἰς τὴν νέαν βάσιν τοῦ ἀναθήματος. Περὶ τῆς θέσεως ἐν ᾗ ἵστατο τὸ ἀνάθημα ἴδε Δελτίον ἀρχ. 1889 σ. 194 σημ. 2.— C.I.A. IV, 1 σ. 78 ἀρ. 334 *a*. Sitzungsberichte der Akademie zu Berlin 1887 σ. 111. Πρβ. Preger, Inscr. Graecae metricae ἀρ. 72. E. Hoffmann, Sylloge ep. Graec. ἀρ. 249.

(1) Δεσμõι ἐν ἀχλυόεντι[1] σιδερέõι ἔσβεσαν hύβ]ριν⁝
παῖδε[ς Ἀθεναίον, ἔργμασιν ἐν πολέμο⁝
(2) ἔ]θνεα Βοιοτõν καὶ Χαλκιδέον δαμάσαντες]⁝
τõν hίππος δ[εκάτεν Παλλάδι τάσδ' ἔθεσαν

Σχ. γρ.: α[12], δ[6], ε[3], ν[5] καὶ ν[6] (στίχ. 2.), ρ[9], σ[4].
Σημ. διαστίξεως [5].

[1] Ἢ μᾶλλον ἀχνυόεντι.

95. Δύο τεμάχια πλίνθου ἐκ Πεντελησίου μαρμάρου. Ἐν τῷ μείζονι σῴζονται μέρη τῆς ἔμπροσθεν πλευρᾶς, ἐν ᾗ ὑπὸ τὸ ἄνω ἄκρον ἡ ἐπιγραφή, καὶ τῆς ἄνω ἐπιφανείας τοῦ λίθου, ἐν δὲ τῷ μικροτέρῳ μικρὰ μέρη τῶν αὐτῶν πλευρῶν. Μῆκ. τοῦ μὲν 0,55, πλ. 0,44, ὕψ. 0,18, τοῦ δὲ μῆκ. καὶ ὕψ. 0,12, πάχ. 0,15 μ., ὕψ. τῶν γραμμάτων 0,025 μ. Ἴδε τὴν προηγουμένην ὑπ' ἀρ. 94 ἐπιγραφήν. Γραφή: στοιχηδόν.— C. I. A. I ἀρ. 334 καὶ IV, 1 σ. 85 ἀρ. 373[69]. Monatsberichte der Akademie zu Berlin 1869 σ. 409

(1) Ἔθνεα Βοιοτõν καὶ Χαλκιδέον δαμά]σαν[τες
παῖδες Ἀθ]εναίον, ἔργμα[σιν ἐν πολέμο
(2) δεσμõι ἐν ἀχλυόεντι[1] σιδερεõι ἔσβε]σαν [hύβριν·
τõν h]ίππος δεκά[τεν Παλλάδι τάσδ' ἔθεσαν

Σχ. γρ.: μ[10], ν[3] καὶ ν[9], σ[4].

96. *Βάσις περιφερὴς (ἀποτετμημένη δὲ τὸ ὄπισθεν μέρος) ἐκ Πεντελησίου μαρμάρου, κειμένη παρὰ τὸν πρὸς νότον τελευταῖον κίονα τῆς ἀνατολικῆς στοᾶς τῶν Προπυλαίων. Ἐπὶ τῆς ἄνω ἐπιφανείας τοῦ λίθου ἴχνη ποδῶν ἀγάλματος. Ὕψ. 0,42, διάμετρος 0,90 μ. — C. I. A. I ἀρ. 335. Ἐφημερὶς ἀρχ. 1839 σ. 212 ἀρ. 217. Ross, Arch. Aufsätze I σ. 188. LeBas ἀρ. 28. Löwy, Inschriften griech. Bildhauer ἀρ. 53. Athen. Mitth. I, 1876, σ. 284. V, 1880, σ. 331. XVI, 1891, σ. 156.

Ἀθεναῖοι τεῖ Ἀθεναίαι τεῖ Ὑγιείαι.
Πύρρος ἐποίησεν Ἀθεναῖος

Σχ. γρ.: ν[3].

97. Βάθρον ἐκ Πεντελησίου μαρμάρου, κολοβὸν πρὸς δεξιά. Ὕψ. 0,61, πλ. 0,25, πάχ. 0,30 μ. Ἐν τῇ ἄνω ἐπιφανείᾳ ὑπῆρχε τετράγωνον κοίλωμα, οὗ πλ. 0,10 μ. Γραφή: στοιχηδόν. — C. I. A. I ἀρ. 339. Dittenberger, Sylloge ἀρ. 11.

Τε̃ς ἀποι[κίας
τε̃ς ἐς Ἐρ - - -

Ἐρέτριαν; Kirchhoff. Ἔρεσον P. Fischer (Quaestiones de Athen. sociis σ. 29).

98. Βάθρον ἐκ Πεντελησίου μαρμάρου. Ἀπεσπάσθη τεμάχιον τῆς ὄπισθεν πλευρᾶς. Ἐν τῇ ἄνω ἐπιφανείᾳ ἐπίμηκες κοίλωμα (μῆκ. 0,35, πλ. 0,19, βάθος 0,025 μ.). Μῆκ. 0,56. πλ. 0,30, ὕψ. 0,20 μ. — C. I. A. I ἀρ. 340. Ἐφημερὶς ἀρχ. 1842 σ. 620 ἀρ. 1082. Dittenberger, Sylloge ἀρ. 26.

Ὀλ. 87,4 (429/28) Ἐποίκον
ἐς Ποτείδαιαν

Σχ. γρ.: ν⁸.

99. Βάσις περιφερὴς ἐκ Πεντελησίου μαρμάρου. Ὕψ. 0,41, διάμετρος τῆς ἄνω ἐπιφανείας (ἐν ᾗ κοίλωμα μῆκ. 0,12, πλ. 0,11 μ.) 0,53 μ. Ἐπὶ τῆς αὐτῆς βάσεως ὑπάρχουσι δύο μεταγενέστεραι ἐπιγραφαὶ (αἱ ἐν τῷ C.I.A.III ὑπ' ἀρ. 582). Γραφή: ἰωνική. — C. I. A. I ἀρ. 338. Ἐφημερὶς ἀρχ. 1838 σ. 126 ἀρ. 80. LeBas ἀρ. 8. Πρβ. Athen. Mitth. XVII, 1892, σ. 346.

Ὀλ. 93, 1 (408/407) Τῆι Ἀθηναίαι ἀνέθ]εσαν πρυτάνες Ἐρεχθηΐδος [φυλῆς πρυ-
τανεύσαν ;]τες ἐπ' Εὐκτήμονος ἄρχοντος.

Λαμπτρῆς] κα[θ]ύπ:	Ἀγρυλ⟨ε⟩ῆς καθύπ:	Ἀγρυλῆς ὑπέ[ν
- - ι ; μοκ:	Ἔνδιος	Κλέαρχος
- - ς	Θοκλείδης	Κηφισιῆς
	Κηδοί	Ἔρυξις
	Θ]υμοτέλης	Κηφίσης
	Π]αντελ[ίδ]ης	vac.
	Ἀν]αγυ[ράσ]ιοι	Περγασῆς καθ[ύπ
	vac.	vac.
		Περγασ[ῆς ὑπέν
		vac.
	Ε]ὐωνυμῆς	
	Ἐ]λπίνης	
	Χ; αιρ ; - - -	

Σημ. διαστίξεως ⁵ καὶ ⁶.

Τὰ ὀνόματα «Ἔρυξις» καὶ «Κηφίσης» προσετέθησαν μεταγενεστέρως ὑπ' ἀδεξίας χειρός.

Ἀναθηματικαὶ ἐπὶ λίθων ἐπιγραφαὶ ἰδιωτικῶν ἱδρυμάτων.

100. Μικρὸν τεμάχιον βάθρου ἐκ Παρίου μαρμάρου. Σώζεται μέρος τοῦ κάτω ἄκρου τῆς ἔμπροσθεν πλευρᾶς. Τὰ ἄνω ἡμίση τῶν γραμμάτων ἀπεθραύσθησαν. Μῆκ. 0,21, ὕψ. 0,035, πλ. 0,06 μ. — C. I. A. IV, 1 σ. 95 ἀρ. 373[145], *b* (πρβ. κάτω ἀρ. 293).

- - - Ἀθμ]ονόθεν ἢ - - - Μαραθ]ονόθεν

Σχ. γρ.: ε³.

101. Τεμάχιον βάθρου ἐκ Πεντελησίου μαρμάρου, κολοβοῦ ἀριστερά, δεξιά, κάτω καὶ ὄπισθεν. Ὑπὸ τὴν ἐπιγραφὴν ὑπῆρχε μεταγενεστέρα τις μείζοσι γράμμασιν ἐγκεχαραγμένη, ἥτις ἀπεθραύσθη πλὴν λειψάνου τινὸς τοῦ Ε τοῦ πρώτου αὐτῆς στίχου. Μῆκ. 0,16, ὕψ. 0,10, πάχ. 0,23 μ. — C. I. A. I ἀρ. 391.

- - - - ος, Αἶ[γ ἢ α ἢ μ ἢ ν - - -
ἀνέθ]εσ[αν ;

Σχ. γρ.: σ⁴.

102. * Ἐπίκρανον κίονος ἐν σχήματι κιονοκράνου ἐκ Παρίου μαρμάρου. Ἐν τῇ ἄνω ἐπιφανείᾳ περιφερὲς κοίλωμα, οὗ ἡ διάμετρος 0,17, τὸ βάθος 0,02 μ. Διάμετρος τῆς ἄνω ἐπιφανείας 0,32, ὕψ. τοῦ ἐπικράνου 0,19 μ. Ἐπὶ τοῦ ἄκρου τῆς ἄνω ἐπιφανείας ἄνωθεν τῆς ἐπιγραφῆς διακρίνονται ὀπαί τινες προερχόμεναι ἐκ τῆς ἐμπήξεως τοῦ ἐπιτεθειμένου ἀναθήματος. Σῴζονται πολλὰ ἴχνη τῆς διὰ διαφόρων χρωμάτων διακοσμήσεως τοῦ ἐπικράνου. Κεῖται ἐν τῷ μουσείῳ τῆς Ἀκροπόλεως.— C.I.A. IV, 1 σ. 100 ἀρ. 373 202. Πρβ. Antike Denkmäler I πίν. 29. Jahrbuch des arch. Inst. III, 1888, σ. 275, 15. E. Hoffmann, Sylloge ep. Graec. ἀρ. 224. Collignon, Sculpture grecque I σ. 392.

Αἰσχίνες ἀνέθεκεν
Ἀθεναίαι τόδ' ἄγαλμα
εὐχσάμενος δεκάτεν παιδὶ Διὸς μεγάλο

Σχ. γρ.: α 11, γ 4, ε 3, θ 4, μ 3, ν 5, σ 4, υ 2, χ 2.

Τὸ ὄνομα «Αἰσχίνες» διωρθώθη ἀντὶ «Αἰχσίνες».

103. Δύο συγκεκολλημένα τεμάχια βάθρου ἐξ ὑποφαίου λεπτοκόκκου μαρμάρου. Σῴζονται μέρη τῆς ἔμπροσθεν, τῆς ὄπισθεν καὶ τῆς κάτω πλευρᾶς. Μῆκ. καὶ πλ. 0,23, ὕψ. 0,09 μ.— Ἓν τεμάχιον περιέχον τὸν 2. στίχον C. I. A. IV, 1 σ. 43 ἀρ. 373 *u*.

vac. Αἰσχί[νες ἀνέθεκε
vac. ho Πισστο - - - -

Σχ. γρ.: α 8, σ 4, χ 2.

104. Τέσσαρα ἐκ Πεντελησίου μαρμάρου τεμάχια περιφεροῦς ἐπικράνου, ἐπιτεθειμένου ποτὲ ὡς φαίνεται ἐπὶ κίονος ἄνευ ῥαβδώσεων. Τὰ ὑπ' ἀρ. *a* καὶ *b* τεμάχια προσαρμόζουσιν ἀλλήλοις. Ἡ διάμετρος τῆς ἄνω ἐπιφανείας τοῦ ἐπικράνου, ἐν ᾗ τετράγωνον κοίλωμα, ἦτο περίπου 0,40, τὸ ὕψ. αὐτοῦ 0,13 μ. Ἔν τισι τῶν γραμμάτων ἴχνη χρώματος ἐρυθροῦ. *a b*: μῆκ. 0,13, *c*: μῆκ. 0,05, ὕψ. 0,065, *d*: μῆκ. 0,07, ὕψ. 0,08 μ.— *a b* καὶ *d*: C. I. A. IV, 1 σ. 100 ἀρ. 373 201. Πρβ. E. Hoffmann, Sylloge ep. Graec. ἀρ. 223.

a b *c* *d*
Αἰσχυλ[ίδ]ες μ[ἀνέ]θεκε[ν Ἀθεναίαι τόδ' ἄγαλμα ;
αὐτõ κα[ὶ γ]εν[εᾶς, μν]ε̃μα [φιλοφροσύνες ;

Σχ. γρ.: α 12, ε 3, θ 4, μ 3, ν 5, σ 4, υ 2, χ 2.

105. Βάθρον ἐκ Παρίου μαρμάρου, οὗ ἀπεσπάσθη τὸ δεξιὸν μέρος. Ἐν τῇ ἄνω ἐπιφανείᾳ κοίλωμα, ἐν ᾧ ἴχνος πέλματος δεξιοῦ ποδός. Μῆκ. 0,35, ὕψ. 0,30, πλ. 0,49 μ.—C.I.A.I ἀρ. 415. Ἐφημερὶς ἀρχ. 1858 σ. 1734 ἀρ. 3272.

Αἰσχύλος ἀνέθε[κε
Πυθέο Παιανιεύ[ς

Σχ. γρ.: υ 4.

Ἐπὶ τῆς ὀπισθίας πλευρᾶς ἡ ἐν τῷ C. I. A. II ὑπ' ἀρ. 1436 ἐπιγραφή.

106. * Βάθρον ἐπίμηκες ἐκ Πεντελησίου μαρμάρου, κείμενον παρὰ τὴν νοτιοανατολικὴν γωνίαν τῶν Προπυλαίων. Μῆκ. 1,18, ὕψ. 0,20, τὸ νῦν πλ. 0,88 μ. Ἡ ἀριστερὰ τῆς ἐπιγραφῆς γωνία (ἐλλείπει ἡ δεξιὰ) καὶ ἡ ὀπίσθιος πλευρὰ τοῦ λίθου κεκυρτωμέναι, παρὰ τὸ ἀριστερὸν ἄκρον (ἐλλείπει τὸ δεξιὸν) τῆς ἄνω ἐπιφανείας ταινία ἐπιμελῶς κατεξεσμένη καὶ ὑπερέχουσα ὀλίγον τοῦ λοιποῦ ἀμελέστερον λελειασμένου χώρου τῆς ἐπιφανείας, ἐφ' ἧς οὐδὲν ἄλλο ἴχνος γομφώσεως διακρίνεται.— C. I. A. I ἀρ. 357, πρβ. IV, 1 σ. 40. Ἐφημερὶς ἀρχ. 1838 σ. 112 ἀρ. 60. Ross, Arch. Aufsätze I σ. 176. II σ. 314. LeBas ἀρ. 36. Löwy, Inschriften griech. Bildhauer ἀρ. 431. Roberts, Introduction to Greek ep. I ἀρ. 48.

Ἀ]λκίβιος
ἀνέθεκεν
κιθαροιδὸς
Νεσιότες

Σχ. γρ.: α 11, β 3, ε 3, θ 4, λ 2, ν 8, ρ 10, σ 4.

107. * Ὑπόστατον ἀναθήματος (ἐκ Παρίου μαρμάρου) ἐν σχήματι κίονος ῥαβδωτοῦ μετὰ κιονοκράνου ἰωνικοῦ ῥυθμοῦ, ἐλλιπὲς τὸ κάτω μέρος τοῦ κίονος καὶ κατὰ τὸ ἥμισυ περίπου τοῦ κιονοκράνου. Ἐπὶ τῆς ἄνω ἐπιφανείας τοῦ κιονοκράνου ὑπῆρχε τετράγωνον κοίλωμα μήκ. 0,14, πλ. 0,13, βάθ. 0,06 μ. Συνείχετο τὸ κιονόκρανον μετὰ τοῦ κίονος διὰ προεξοχῆς τούτου, μολύβδῳ περικεχυμένης (μῆκ. αὐτῆς 0,14 μ.). Μῆκ. τοῦ κίονος μετὰ τῆς προεξοχῆς 0,45 μ. Κεῖται ἐν τῷ μουσείῳ τῆς Ἀκροπόλεως ὑπ' ἀρ. 124.

Ἡ ἐπιγραφὴ φαίνεται ὅτι ἐνεχαράχθη ἐξ ἀρχῆς ἐν δυσὶ τῶν αὐλάκων τοῦ κίονος, ὅτε δὲ προσηρμόζετο ἐπ' αὐτοῦ τὸ κιονόκρανον ἐκαλύφθησαν διὰ τούτου τὰ πρῶτα γράμματα ἀμφοτέρων τῶν στίχων καὶ παρετέθησαν κατόπιν τὰ μὲν δύο πρῶτα γράμματα τῆς ἀνωτέρω (ἀριστε-

ρᾶς) αὔλακος ἐν τῇ ἀριστερᾷ προσκειμένη, τὰ δὲ δύο πρῶτα γράμματα τῆς κατωτέρω (δεξιᾶς) αὔλακος ἐν ταῖς δύο προσκειμέναις αὔλαξιν, ἀνὰ ἓν γράμμα ἐν ἑκατέρᾳ. Ἐπὶ τοῦ κιονοκράνου πολλὰ ἴχνη τῆς διὰ διαφόρων χρωμάτων διακοσμήσεως. Γραφή: ἐκ δεξιῶν πρὸς ἀριστερά. — C.I.A. IV, 1 σ. 87 ἀρ. 373[85]. Jahrbuch des arch. Inst. III, 1888, σ. 275. Ἐφημερὶς ἀρχ. 1886 πίν. 6, 1, σ. 79. Puchstein, Das ionische Capitell σ. 9. Papers of the American school IV σ. 175, 8. E. Hoffmann, Sylloge ep. Graec. ἀρ. 218.

Ἀλ|κίμαχος μ' ἀ[νέθεκε - - -
εὐ|χολὲν ἐσθλὸ δ - - - -

Σχ. γρ.: α[11], δ[6], ε[10], μ[6] καὶ μ[3], ν[4], σ[5], χ[3].

108. Τεμάχιον βάθρου ἐκ Πεντελησίου μαρμάρου. Σῴζονται μέρη τῆς ἔμπροσθεν, τῆς ἄνω, τῆς κάτω καὶ τῆς δεξιᾶς πλευρᾶς. Μῆκ. 0,36, ὕψ. 0,27, πάχ. 0,20 μ.— C. I. A. I ἀρ. 409. Ἐφημερὶς ἀρχ. 1860 σ. 1963 ἀρ. 3814.

- - - - - ἀνέθεκεν Ἀλοπ]εκε͂θεν
vac.

109. Ἀριστερὸν ἥμισυ πλίνθου ἐκ Πεντελησίου μαρμάρου ἐφθαρμένον τὰς γωνίας καὶ τὰ ἄκρα. Μῆκ. περίπου 0,30, πλ. (ἀπὸ τῆς ἔμπροσθεν μέχρι τῆς ὄπισθεν πλευρᾶς) 0,59, ὕψ. 29 μ. Ἐπὶ τῆς ἄνω ἐπιφανείας ὑπάρχουσι τρεῖς ὀπαί, ὧν αἱ μὲν δύο ἐλλειψοειδεῖς πλησίον τῆς ἀριστερᾶς ἄκρας (μῆκ. 0,07, βάθος 0,04 μ.), ἡ δὲ τρίτη παρὰ τὴν νῦν δεξιὰν ἄκραν κειμένη σῴζεται μόνον κατὰ τὸ ἥμισυ, φαίνεται δὲ ὅτι ἦτο ἐν τῷ μέσῳ τῆς ἄνω ἐπιφανείας καὶ εἶχε διάμετρον 0,10, βάθος 0,11 μ. Ἐπὶ τῆς ἔμπροσθεν ἐνεπιγράφου πλευρᾶς διακρίνεται παρὰ τὸ ἄνω ἄκρον ἐπεξεργασία τις οἱονεὶ ταινίας, ὑπὸ ταύτην δὲ χῶρος κενὸς καὶ κάτωθεν τούτου τρεῖς στίχοι, ὧν ὁ μὲν πρῶτος ἐν τῇ ὀλίγον πρὸ τοῦ τέλους τῆς πέμπτης ἑκατονταετηρίδος ἐν χρήσει οὔσῃ ἀττικῇ γραφῇ, οἱ δὲ δύο λοιποὶ ἐν τῇ γραφῇ τῶν Ῥωμαϊκῶν χρόνων. Ἄνωθεν τῆς ἀρχαιοτέρας ἐπιγραφῆς δὲν διακρίνονται σαφῆ λείψανα προηγουμένων στίχων, δὲν δικαιούμεθα λοιπὸν νὰ ἐκλάβωμεν αὐτὴν ὡς ἐπιγραφὴν τεχνίτου, ὅπως ἐγένετο. — C. I. A. I ἀρ. 404. Ἐφημερὶς ἀρχ. 1838 σ. 125 ἀρ. 78. Ross, Arch. Aufsätze I σ. 170. LeBas ἀρ. 148. Löwy, Inschriften griech. Bildhauer ἀρ. 55.

Ἀ]πολλόδορος - - - - -

Ἡ ἐκ τῆς δευτέρας χρήσεως τοῦ λίθου προερχομένη ἐπιγραφὴ ἐδημοσιεύθη ἐν τῷ C. I. A. III ὑπ' ἀρ. 574.

110. Τεμάχιον κιονίσκου ἄνευ ῥαβδώσεων ἐκ Πεντελησίου μαρμάρου. Ἡ ἐπιφάνεια τοῦ λίθου σχεδὸν ἀκατέργαστος ἐκτὸς τοῦ χώρου ἐφ' οὗ ἡ ἐπιγραφή. Ἀριστερὰ τῆς ἐπιγραφῆς δύο μικραὶ ὀπαί. Μῆκ. 0,20, πλ. 0,12 μ.— C.I.A. IV,1 σ. 43 καὶ 128 ἀρ. 373 z (τὸ ἐν σ. 43 ἀντίγραφον εἶνε πιστότερον τοῦ ἐν σ. 128).

Ἀριστ[- - - ἀνέθεκε

Σχ. γρ.: α[12], ρ[6], σ[5].

111. Βάθρον ἐκ Πεντελησίου μαρμάρου συντεθειμένον ἐκ τεσσάρων τεμαχίων, ἐλλιπὲς τὸ κάτω καὶ τὸ ὀπίσθιον μέρος. Ἐπὶ τῆς ἄνω ἐπιφανείας ἐπίμηκες ἐλλειψοειδὲς κοίλωμα. Μῆκ. περίπου 0,70 μ.— C. I. A. IV, 1 σ. 80 καὶ 179 ἀρ. 373[3]. σ. 89 ἀρ. 373[96]. Δελτίον ἀρχ. 1888 σ. 96.

Ἀριστίον⁝ καὶ Πασίας⁝ ἀνεθέ-
τε]ν⁝ τε͂ι Ἀθεναίαι⁝ ἀπαρχέν

Σχ. γρ.: α[12] καὶ α[11] (ἐν τῇ λέξει «καί»), ε[5], θ[4], ν[6], ρ[10], σ[4], χ[3].
Σημ. διαστίξεως [5].

112. W. Τρία τεμάχια κίονος μετὰ 16 ῥαβδώσεων, ἐκ Πεντελησίου μαρμάρου. Ἐπὶ τῆς ἄνω ἄκρας τοῦ πρώτου, ἀνωτάτου τεμαχίου (*a*) ἔμβολον περιφερὲς (διάμετρος ἄνω 0,15 μ.), μολύβδῳ περικεχυμένον. Μῆκ. τοῦ *a* περίπου: 0,60, τοῦ *b*: 0,35, τοῦ *c*: 0,30 μ., διάμετρος 0,30 μ. Ἐν τῇ ἀρχῇ τῆς ἐπιγραφῆς ἐλλείπουσι τρία ἢ τέσσαρα γράμματα.— C. I. A. IV, 1 σ. 92 ἀρ. 373[115] καὶ σ. 203 ἀρ. 373[261]. Δελτίον ἀρχ. 1889 σ. 39, 6.

a *b* *c*
. . . έας ἀνέθε[κε]ν καὶ Ἀρισ[τοκ]ράτ[ες - -

Σχ. γρ.: α[10], ε[3], θ[4], ν[5], ρ[11], σ[4].

113. Πλίνθος (βάθρον) ἐξ ὑποφαίου λεπτοκόκκου μαρμάρου. Ἀπεκρούσθησαν τὸ δεξιὸν μέρος, τοῦ δὲ λοιποῦ τὸ ἔμπροσθεν καὶ ἀριστερὸν ἄκρον τῆς ἄνω ἐπιφανείας, τεμάχια τοῦ κάτω ἄκρου τῆς ἔμπροσθεν καὶ ἡ κάτω πλευρά. Ἐπὶ τῆς ἄνω ἐπιφανείας ὑπάρχουσι μολύβδῳ προσκεκολλημέναι δύο χαλκαῖ πλάκες (βαθρίδια ἀγαλματίων, πιθανῶς τῆς Ἀριστομάχης καὶ Ἀρχεστράτης), ὧν ἡ μία (ἀριστερά, τῆς Ἀριστομάχης) ἔχει μῆκ. 0,35, πλ. 0,15, ἡ δὲ ἑτέρα (δεξιά, τῆς Ἀρχεστράτης)

μῆκ. 0,19, πλ. 0,065 μ. Συνηρμολογήθη ἐξ ὀκτὼ τεμαχίων. Μῆκ. 0,87, ὕψ. 0,125, πλ. 0,44 μ. — C. I. A. IV, 1 σ. 99 ἀρ. 373[192] καὶ 373[194]. Πρβ. E. Hoffmann, Sylloge ep. Graec. ἀρ. 233.

Ἀριστομάχεν ⁝ καὶ Ἀρχεστράτ[εν ⁝ - - - - -
παῖδε ⁝ φαρθένε καὶ γενεά[ν] ⁝ hοῖν - - - -
. . . .] ⁝ Κύναρβος ⁝ παισί Ι - - - - - - -

Σχ. γρ.: α[11], β[3], ε[3], θ[4], ν[6], ρ[9], σ[4], υ[2], φ[2], χ[2].
Σημ. διαστίξεως [5].

114. *Βάθρον ἐκ Πεντελησίου μαρμάρου. Μῆκ. 0,76, πλ. 0,62, ὕψ. 0,27 μ. Συνίσταται ἐκ δύο μεγάλων καὶ δύο μικρῶν τεμαχίων, κεῖται δὲ νῦν παρὰ τὴν βόρειον στοὰν τοῦ Ἐρεχθείου (ὀλίγον πρὸς βορρᾶν τοῦ δευτέρου ἀνατολικοῦ στύλου). Ἄνωθεν τοῦ σῳζομένου ἐξηλείφθη εἷς στίχος, περιέχων ποτὲ ἴσως τὸ τέλος τῆς ἐπιγραφῆς, διότι σῴζονται ἀκέραια τὰ ἄκρα τοῦ λίθου ἀριστερὰ καὶ δεξιὰ τῆς ἐπιγραφῆς, ἥτις ἀντικατέστησεν ἴσως ἀρχαιοτέραν ἐπίσης βουστροφηδὸν γεγραμμένην. Ἐπὶ τῆς ἄνω ἐπιφανείας ἴχνη ποδῶν ἀγάλματος. — C. I. A. I ἀρ. 407. Ἐφημερὶς ἀρχ. 1839 σ. 161 ἀρ. 126. LeBas ἀρ. 45.

Ἀριστονεί[δ ;]ες Ἐμμενίδο ⁝ ἐκ Κ[ο]ίλες
ἢ Κ[ε]ραμέον ἀνέθεκεν

Σχ. γρ.: α[12].
Σημ. διαστίξεως [5].

Ἐπὶ τῆς ἀντιθέτου πλευρᾶς ἐνεχαράχθη ἡ ἐν τῷ C. I. A. III ὑπ' ἀρ. 785 ἐπιγραφή, προερχομένη ἐκ δευτέρας χρήσεως τοῦ διὰ τοῦτο ἀντιστραφέντος λίθου.

115. *W.* Τεμάχια τρία βάθρου ἐκ Πεντελησίου μαρμάρου, ὧν τὰ δύο πρῶτα προσαρμόζοντα ἀλλήλοις. Σῴζονται μέρη τῆς ἔμπροσθεν, τῆς δεξιᾶς καὶ τῆς ἄνω πλευρᾶς. Μῆκ. τῶν δύο προσαρμοζόντων τεμαχίων 0,16, ὕψ. 0,17, πάχ. 0,23 μ., τοῦ τρίτου μῆκ. 0,10, ὕψ. 0,25, πάχ. 0,18 μ. Τὸ δεύτερον τεμάχιον εὑρέθη τῷ 1883 ἐν τοῖς ἐκ τῆς Ἀκροπόλεως ἀπορριφθεῖσι χώμασιν (Εὑρετήριον ἀρχ. ἑταιρείας Λιθ. 3773). — C. I. A. IV, 1 σ. 82 ἀρ. 373[26]. σ. 85 ἀρ. 373[70].

- - - - υς ⁝ μ' ἀν[έθ]ε[κε
ἀπαρχὲ]ν ⁝ Ἀρχ[ί]νο
vac.

Σχ. γρ.: α[11], ε[3], μ[2], ν[5], ρ[10]; σ[4].
Σημ. διαστίξεως [5].

116. Τεμάχιον πλακὸς ἐκ Πεντελησίου μαρμάρου. Σῴζεται τὸ δεξιὸν ἄκρον. Ὑπὲρ τὴν ἐπιγραφὴν λείψανον ἀναγλύφου ἀρχαϊκῆς τέχνης, παριστάνον τὸ κάτω μέρος καθημένης ἐπὶ θρόνου γυναικείας μορφῆς πρὸς ἀριστερὰ ἐστραμμένης. Μῆκ. 0,15, πλ. 0,13, πάχ. 0,065 μ. — C. I. A. IV, 1 σ. 81 ἀρ. 373[20].

Ἀρ]χίππη
δεκ]άτεν

Σχ. γρ.: ν[6].

117. *Βάθρον ἐκ Πεντελησίου μαρμάρου. Μῆκ. 1,315, πλ. 0,775, ὕψ. 0,26 μ. Ἡ ἐπιγραφὴ ἐπὶ μιᾶς τῶν στενωτέρων τῶν μακρῶν πλευρῶν, ἐγγύτατα παρὰ τὸ ἄνω ἄκρον αὐτῆς. Ἐπὶ τῆς ἄνω ἐπιφανείας διακρίνονται παρὰ τὸ ἀριστερὸν ἄκρον ἴχνη δεξιοῦ, παρὰ δὲ τὸ δεξιὸν ἄκρον ἀριστεροῦ ποδὸς ἀνδρὸς φυσικοῦ μεγέθους καὶ ἔμπροσθεν παρὰ τὸν ἀριστερὸν πόδα ἴχνη ποδῶν δύο παίδων, οἵτινες ἠρείδοντο προφανῶς πρὸς τὸν πατέρα αὐτῶν. Κεῖται δυτικῶς τοῦ Παρθενῶνος ἐπὶ τοῦ βορείου τοίχου τῆς Χαλκοθήκης (Δελτίον ἀρχ. 1889 πίν. Α' ἀρ. 25). — C. I. A. I ἀρ. 358. Ἐφημερὶς ἀρχ. 1840 σ. 342 ἀρ. 414. Kirchhoff, Studien[4] σ. 96. Roberts Introduction to Greek ep. I ἀρ. 54.

Ἀρχονίδες ⁝ Hεβδομίας ⁝ Λευκολοφίδο ⁝ ἀνεθέτεν vac.

Σχ. γρ.: α[11], β[3], θ[4], ν[6], ρ[10], φ[2], χ[2].
Σημ. διαστίξεως [5].

118. Πλὰξ ἐκ Πεντελησίου μαρμάρου, πιθανῶς θραῦσμα σκεύους τινός, οὗ τὸ μέσον ἐξεκολάφθη ἐν σχήματι λεκάνης. Ἡ ἐπιγραφὴ παρὰ τὸ ἔμπροσθεν ἄκρον τῆς ἄνω ἐπιφανείας· σῴζεται καὶ μέρος τοῦ ἀριστεροῦ ἄκρου καὶ τοῦ χείλους τοῦ κοίλου (λεκάνης;). Μῆκ. 0,20, πλ. 0,17, πάχ. 0,02-0,03 μ. — C. I. A. IV, 1 σ. 84 ἀρ. 373[56].

Ἀσοπόδ[ορος ἀνέθεκε - - -

Σχ. γρ.: α[12], σ[4].

119. Ἐπίκρανον στήλης τετράγωνον ἐκ φαιοῦ λεπτοκόκκου μαρμάρου. Ἐν τῇ ἄνω ἐπιφανείᾳ κοίλωμα περιφερὲς (δι' ἔνθεσιν ἀγαλματίου), οὗ ἡ μείζων διάμετρος 0,28, ἡ μικροτέρα 0,18, τὸ δὲ βάθος 0,02-0,03 μ. Ὕψ. 0,40, πλ. 0,35, πάχ. 0,27 μ. Γραφή: ἰωνικὴ πλὴν τοῦ Ο ἐν τῇ λέξει «Ἀχαρνέος» καὶ τοῦ Ε ἐν τῇ λέξει «Ἐργάνει». — C.I.A. IV, 1 σ. 205 ἀρ. 373[271]. Δελτίον ἀρχ. 1888 σ. 138, 1.

\- - - - - - - -
Ἀ]χαρνέος θυγάτη[ρ
Ἀθηναίαι Ἐργάνει
ἀνέθηκεν.

120. Τεμάχιον κεφαλῆς στήλης τετραγώνου ἐκ φαιοῦ λεπτοκόκκου μαρμάρου. Ἐν τῇ ἄνω ἐπιφανείᾳ ὑπῆρχε τετράγωνον κοίλωμα, οὗ τὸ πλάτος ἦτο 0,26 μ. Μῆκ. 0,085, ὕψ. 0,19, πλ. 0,34 μ.— C. I. A. IV, 1 σ. 83 ἀρ. 373[43]. Εἰς τὸν αὐτὸν λίθον ἀνῆκεν ἴσως καὶ μικρόν τι τεμάχιον, ἐφ' οὗ σῴζεται ἓν σ.

vac.
Βιο[- - - - - ἀνέθεκε
vac.

Σχ. γρ.: β³, σ¹².

121. Τεμάχιον βάθρου ἐξ Ὑμηττίου μαρμάρου. Σῴζονται μέρη τῆς ἔμπροσθεν καὶ τῆς ἀριστερᾶς πλευρᾶς (ἧς ἡ ἐξεργασία ἠμελημένη) μετὰ μέρους τινὸς κοιλώματος τετραγώνου, διευθυνομένου πρὸς τὴν νῦν ἀποκεκρουσμένην κάτω πλευρὰν τοῦ λίθου, ὅστις ἔκειτο προφανῶς ἐπ' ἄλλου τινός. Μῆκ. 0,17, ὕψ. 0,06, πλ. 0,14 μ. — C. I. A. IV, 1 σ. 204 ἀρ. 373[264]. Sitzungsberichte der Akademie zu Berlin 1887 σ. 1066, 1.

Πα]λλάδι ⁝ Βρ - - -
\- - - - - - - -

Σχ. γρ.: α¹¹, β³, ρ⁹ ἢ ρ¹⁰.
Σημ. διαστίξεως ⁵.

122. Τεμάχιον βάθρου ἐκ Πεντελησίου μαρμάρου, ἀποκεκρουσμένου ἀριστερά, δεξιὰ καὶ ὄπισθεν. Τῆς ἔμπροσθεν πλευρᾶς ἐλειάνθη μόνον τὸ ἄνω τρίτον ἐπιμελῶς, ἔνθα καὶ ἡ ἐπιγραφή. Μῆκ. 0,29, ὕψ. 0,23, πάχ. 0,28 μ. Γραφή: στοιχηδόν. Τὸ δεύτερον τῶν σῳζομένων γραμμάτων εἶνε ἀναμφιβόλως Ρ, τὸ τρίτον Α. — C. I. A. I ἀρ. 390.

\- - σ]τρατί[δες - - - - -
Γαργέ - ἢ Σφέ]ττιος ⁝ ἀ[νέθεκεν - -

Σχ. γρ.: σ⁴.
Σημ. διαστίξεως ⁵ ἢ ⁶.

123. * Δύο συγκεκολλημένα τρίγωνα τεμάχια ἐκ Παρίου μαρμάρου, ἀνήκοντα εἰς ὀκτάγωνον ὡς φαίνεται βάθρον, λῆγον εἰς ἐχῖνον καὶ ἄβακα, ἐφ' ὧν διατηροῦνται ἴχνη ποικίλου χρωματισμοῦ. Μῆκ. τοῦ συνόλου νῦν 0,50, τοῦ ἐπικράνου 0,14, διάμετρος τοῦ ἐπικράνου περίπου 0,33, τοῦ κάτω μέρους 0,27 μ. Ἐπὶ τῆς ἄνω ἐπιφανείας κοίλωμα τετράγωνον. Ἐν τοῖς γράμμασιν ἴχνη χρώματος ἐρυθροῦ. Κεῖται ἐν τῷ τῆς Ἀκροπόλεως μουσείῳ. — C. I. A. IV, 1 σ. 44 ἀρ. 373 *a*⁶ καὶ σ. 80 ἀρ. 373⁴. E. Hoffmann, Sylloge ep. Graec. ἀρ. 219 καὶ 257. Jahrbuch des arch. Instituts III, 1888, σ. 273, 8.

Πότνι' Ἀθεναία, π - - -
Γλαυκίας ἀνέθεκ[ε - - -

Σχ. γρ.: α¹¹ καὶ α¹², ε³, θ⁴, ν⁵, σ⁴, υ².

124. Τεμάχιον ὑποστάτου ἀναθήματος ἐκ Πεντελησίου μαρμάρου μετ' ἐπικράνου. Ἡ ἐπιγραφὴ κατὰ μῆκος τοῦ λίθου, δεξιᾷ (ἄνωθεν) αὐτῆς διατηρεῖται μέρος τοῦ ἄκρου. Μῆκ. 0,08, ὕψ. 0,21, πλ. 0,10 μ.— C. I. A. IV, 1 σ. 42 ἀρ. 373 *i*.

Γναθ[- - - - ἀνέθεκε
\- - - - - - - - - - -

Σχ. γρ.: α¹¹, γ³, ν⁹.

125. Τεμάχιον τετραγώνου ἐπικράνου στήλης ἐπιμήκους ἐκ Πεντελησίου μαρμάρου. Ἐν τῇ ἄνω ἐπιφανείᾳ ὑπῆρχε τετράγωνον κοίλωμα (βάθους περίπου 0,01 μ.). Ἀπεθραύσθησαν τὸ ὄπισθεν καὶ τὸ δεξιὸν μέρος τοῦ ἐπικράνου καὶ ὁλόκληρον σχεδὸν τὸ κάτω ἐν σχήματι στήλης μέρος. Ἐν τοῖς γράμμασιν ἴχνη χρώματος ἐρυθροῦ. Μῆκ. 0,11, ὕψ. 0,14, πάχ. 0,19 μ.— C. I. A. IV, 1 σ. 97 ἀρ. 373[178].

Δεμο[- - - - ἀνέθ-
εκεν - - - - - -
vac.

Σχ. γρ.: μ², ν;

126. * Βάθρον ἐκ Πεντελησίου μαρμάρου, μετὰ κυματίου καὶ ἄβακος, ἐφ' οὗ ἡ ἐπιγραφή, ἐνῳκοδομημένον παρὰ τὴν εἴσοδον τῆς Ἀκροπόλεως ἐν τοῖς θεμελίοις τῆς νοτιοανατολικῆς γωνίας τοῦ βορείου πύργου, ἀριστερὰ τῷ εἰσερχομένῳ. Μῆκ. 0,77, ὕψ. 0,385, ὕψ. τοῦ ἄβακος 0,04 μ. — C. I. A. IV, 1 σ. 103 ἀρ. 418 *f*. Athen. Mitth. V, 1880, σ. 314. 317, 1.

Δ]εμόστρα[τ]ος ⁝ ἀνέθ[εκεν

Σχ. γρ.: α¹⁵, μ¹ ; ν; σ⁴.
Σημ. διαστίξεως ⁵.

127. Πλίνθος ἐκ Πεντελησίου μαρμάρου, κολοβὴ τὸ δεξιὸν ἄκρον, ἀπεσπάσθη δὲ καὶ τὸ κάτω μέρος. Πλ. 0,47, τὸ νῦν μῆκος 0,52, τὸ νῦν ὕψ. 0,10-0,14 μ. Ἐπὶ τῆς ἄνω ἐπιφανείας ὑπάρχουσιν ἑπτὰ ὀπαὶ τοιουτοτρόπως διατεθειμέναι ὥστε νὰ σχηματίζωσιν ὀρθογώνιον οὗτινος ἡ μία γραμμὴ κεῖται παραλλήλως τῷ ἔμπροσθεν ἄκρῳ τῆς ἐπιφανείας, ἡ δὲ ἑτέρα ἐκτείνεται πρὸς τὸ ὄπισθεν ἄκρον αὐτῆς. Ἡ τελευταία ὀπὴ τῆς πρώτης γραμμῆς κεῖται παρὰ τὸ ἀριστερὸν ἄκρον, εἶνε δὲ εὐρυχωροτέρα τῶν λοιπῶν, ἔχουσα βάθος περίπου 0,085, διάμετρον περίπου 0,045 μ. Ἡ προτελευταία ὀπὴ τῆς δευτέρας γραμμῆς κατέχεται ὑπὸ τεμαχίου χαλκοῦ μολύβδῳ περικεχυμένου. Δύο τῶν λοιπῶν ὀπῶν ἐχρησίμευον ἴσως μόνον ὡς ὑπομόχλια (Stemmlöcher), πᾶσαι δὲ ἐκαλύπτοντο διὰ τοῦ ἐπὶ τοῦ λίθου κειμένου ἀναθήματος. Τὸ σῳζόμενον τῆς ἐπιγραφῆς παρὰ τὸ ἄνω ἄκρον τῆς ἔμπροσθεν πλευρᾶς.

Δεμόφιλος: - - - -

Σχ. γρ. μ⁹, σ⁴, φ².
Σημ. διαστίξεως ⁵.

128. Ἄνω μέρος ὑποστάτου ἐκ Πεντελησίου μαρμάρου, ἔχοντος τὸ σχῆμα κίονος ἄνευ ῥαβδώσεων, ἐφ' οὗ ἡ ἐπιγραφή. Ἐπὶ τῆς ἄνω ἐπιφανείας τοῦ ἀβακίου κοίλωμα ἀβαθὲς (ἐν τῷ μέσῳ μικρὰ ὀπὴ) χρησιμεῦσαν διὰ τὴν ἔνθεσιν ἀγάλματος ἐκ μαρμάρου. Ὕψ. τοῦ σῳζομένου 0,45, διάμετρος τοῦ στυλοειδοῦς μέρους περίπου 0,33, μῆκ. καὶ πλ. τοῦ ἀβακίου 0,40, ὕψ. αὐτοῦ 0,09 μ. Γραφὴ τῶν τεσσάρων πρώτων στίχων ἡ στοιχηδὸν καλουμένη· γράμματά τινα (Γ, Η, Λ) ἐλήφθησαν ἐκ τῆς Ἰωνικῆς γραφῆς (ἴσως πρόκειται περὶ ἀνανεώσεως ἀρχαιοτέρας ἐπιγραφῆς). — C. I. A. I ἀρ. 398 πρβ. IV, 1 σ. 44. Ἐφημερὶς ἀρχ. 1860 σ. 1935 ἀρ. 3769. Kaibel, Ep. Graeca ἀρ. 760. E. Hoffmann, Sylloge ep. Graec. ἀρ. 268. Bechtel, Inschriften des ionischen Dialekts ἀρ. 266. Hermes X, 1876, σ. 159. Usener, Altgriechischer Versbau σ. 30. Wochenschrift für klass. Phil. 1887 σ. 1574.

Διογέν[ες ἢ -ης
ἀνέθηκεν
Αἰσχύλο
hυὺς Κεφ[α-
λε͂ος (ἢ -λέος)

Σχ. γρ.: h², ν¹⁰, σ⁴, φ².

129. Τεμάχιον πλίνθου ἐκ Πεντελησίου μαρμάρου. Σῴζονται μέρη τῆς ἔμπροσθεν (ἐνεπιγράφου), τῆς ἀριστερᾶς καὶ τῆς (λείας) ἄνω πλευρᾶς. Ἐν τοῖς γράμμασιν ἴχνη χρώματος ἐρυθροῦ. Μῆκ. 0,26, ὕψ. 0,13, πλ. 0,30 μ. Ὕψ. τῶν γραμμάτων 0,04.—C.I.A.IV, 1 σ. 200 ἀρ. 373²⁴⁶. Δελτίον ἀρχ. 1889 σ. 17, 13.

vac.
Διοκλ - - -
ἀν[έθεκεν

Σχ. γρ.: α¹², ν⁸.

130. *Μέγα βάθρον ἐκ Πεντελησίου μαρμάρου, συνιστάμενον ἐκ δύο πλίνθων, ὧν ἡ ἔμπροσθεν κειμένη (συνηρμολογημένη ἐκ δύο τεμαχίων) φέρει ἐπὶ τῆς προσθίας πλευρᾶς τὴν ἐπιγραφήν. Ἐν τῇ ἄνω ἐπιφανείᾳ τοῦ βάθρου κοίλωμα τετράγωνον (μῆκ. 1,50, πλ. 0,73, βάθος 0,013 μ.). Μῆκ. 2,06, πλ. 1,28, ὕψ. 0,29 μ. Ὕψ. τῶν γραμμάτων 0,055 μ. Γραφή: στοιχηδόν. Κεῖται νοτιοδυτικῶς τοῦ Παρθενῶνος, παρὰ τὸν ἐκ Πειραϊκοῦ λίθου τοῖχον (ἔνθα ἐν τῷ Α' πίνακι τοῦ Δελτίου ἀρχ. 1889 κεῖται ὁ ἀριθμὸς 24), τὸ δὲ γωνιαῖον τεμάχιον ἐφ' οὗ τὸ τελευταῖον γράμμα τοῦ πρώτου στίχου φυλάσσεται ἐν τῷ ἐπιγραφικῷ Μουσείῳ.— C.I.A. IV, 1 σ. 200 ἀρ. 373²⁴⁵. Δελτίον ἀρχ. 1889 σ. 17, 12. Jahrbuch des arch. Inst. VIII, 1893, σ. 155.

Διο; κ]λείδες: ἀν[έθεκε]ν
hο Διοκλέος: τἀθεν[αίαι

Σχ. γρ.: α¹¹, ε³, θ⁴, σ⁴.
Σημ. διαστίξεως ⁵.

131. *Βάθρον ἐπίμηκες ἐκ Πεντελησίου μαρμάρου. Ἐπὶ τῆς ἄνω ἐπιφανείας ὑπῆρχε κοίλωμα τετράγωνον ἔχον μῆκ. 0,81, πλ. 0,19, βάθος 0,03 μ. Ἀπεκρούσθησαν τὸ ἀριστερὸν ἥμισυ τῆς ἄνω ἐπιφανείας μετὰ μέρους τοῦ κοιλώματος καὶ ἄλλα τινὰ μικρότερα τεμάχια. Ἡ ἐπιγραφὴ ἐπὶ μιᾶς τῶν στενωτέρων πλευρῶν· Ἐν τοῖς γράμμασιν ἴχνη χρώματος ἐρυθροῦ. Μῆκ. 0,94, ὕψ. 0,45, πλ. 0,57 μ. Κεῖται πρὸ τοῦ ἐν τῇ Ἀκροπόλει μουσείου.— C.I.A. IV, 1 σ. 102 ἀρ. 373²¹⁶. Πρβ. E. Hoffmann, Sylloge ep. Graec. ἀρ. 226.

Παλ]άδι μ' ἐγρεμάχαι Διονύσιο[ς τ-
ό]δ' ἄγαλμα στε͂σε Κολοίο παῖς, [εὐχσά-
μενος δεκάτεν

Σχ. γρ.: α¹¹, δ⁵, ε³, μ², ν⁵, σ⁴ καὶ σ¹¹ (ἐν τῇ λέξει «Διονύσιος»), υ², χ².

132. Τὸ πρόσθιον ἥμισυ κίονος ἐκ Πεντελησίου μαρμάρου, συντεθειμένον ἐξ ἓξ τεμαχίων, ὧν τέσσαρα, (*a-d*) προσαρμόζοντα ἀλλήλοις, ἀποτελοῦσι τὸ ἄνω μέρος τοῦ κίονος, ἐνῷ τὸ ὑπ' ἀρ. *f* περιέχει τὸ τέλος τοῦ πρώτου στίχου. Ἀπεθραύσθη τὸ κάτω ἄκρον· ἐπὶ τοῦ ἄνω ἄκρου, οὗ σῴζεται μικρόν τι μέρος, ὑπῆρχε κοίλωμα περιφερές. Διάμετρος περίπου 0,24, τὸ νῦν μῆκος τῶν συνηρμολογημένων τεμαχίων ὁμοῦ περίπου 1,00 μ.— *c d f*: C. I. A. IV, 1 σ. 84 ἀρ. 373^{61}.

a *b* *c* *e* *f*
Τε͂ι] Ἀθε|ναίει ἀνέ|[θε]σαν [Δι]ον[υσόδορ]ος
- - - Ἀ]|θενόδορ |[ο]ς ἀπ[αρχ]ὲ[ν
hοι - -]|κλείδο vac. *d*

Σχ. γρ.: α^{12}, ε^{3}, θ^{1}, ν^{8} καὶ ν^{9}, ρ^{10}, σ^{1}.

